## «Οἶκος τοῦ Εὐφραθᾶ», Ἦχος Β', Πα







**Οἶκος τοῦ Εὐφραθᾶ, ἡ πόλις ἡ ἁγία, τῶν προφητῶν ἡ δόξα, εὐτρέπισον τὸν οἶκον, ἐν ᾧ τὸ θεῖον τίκτεται.**

### Προσόμοια

Δεῦτε οἱ ἐξ Ἀδάμ, τὴν ἐκ Δαυῒδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

Αἶνον τῷ λυτρωτῇ, προσάξωμεν Κυρίῳ, τῷ ἐκ τῆς στεῖρας δόντι, ἡμῖν τὴν Θεότοκον, καὶ μόνην ἀειπάρθενον.

Χάρις τῷ λυτρωτῇ, καὶ πάντων κηδεμόνι, τῷ στεῖραν παρ' ἐλπίδα, τεκεῖν τὴν Θεοτόκον, ἀρρήτως εὐδοκήσαντι.

Ἴωμεν οἱ πιστοί, δοξάζοντες τὴν Κόρην, ἐτέχθη γὰρ ἐκ στείρας, τὴν στειρωθεῖσαν φύσιν, ἡμῶν ἀνακαινίζουσα.

Ὄρος ὡς ἀληθῶς, κατάσκιον ἐδείχθη, ἡ στείρωσις τῆς Ἄννης, ἐξ οὗ ἡ σωτηρία, πᾶσι πιστοῖς δεδώρηται.

Ῥήξασα τὰ δεσμά, στειρώσεως τῆς Ἄννης, ἡ πάναγνος Παρθένος, προῆλθε τοῖς ἀνθρώποις, τὴν ἄφεσιν βραβεύουσα.

Σήμερον εὐκλεῶς, ἐξ' Ἄννης ἡ Παρθένος, ἡ φωτοφόρος πύλη, γεννᾶται παραδόξως, λαοὶ φυλαὶ σκιρτήσατε.

Σκίρτα Ἰωακείμ, ὁρῶν Ἄνναν κοιλίας, καρπὸν ἐκφύουσάν σοι, ἐξ οὗ ζωὴ τῷ κόσμῳ, καὶ λύτρωσις τεχθήσεται.

Γῆρας, Ἰωακείμ, καὶ στείρωσις τῆς Ἄννης, σκιρτάτωσαν ὡς πάλαι, γηράσασαν τὴν φύσιν, τὴν βρότειον καινίζοντα.

Ὅτε τὴν ὑλικήν, οὐσίαν τῶν ἀνθρώπων, ηὐδόκησας φορέσαι, προήγαγες ἐκ στείρας, τὴν σὴν Μητέρα Κύριε.

Νέον ὡς οὐρανόν, τὴν μήτραν τῆς Παρθένου, καὶ Θεοτόκου Λόγε, κατῴκησας θεώσας, βροτῶν τὸ γένος Δέσποτα.

Ξύλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες, μεγαλωσύνην δῶμεν, Θεῷ τῷ σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

Δεῦτε οἱ ἐξ Ἀδάμ, τὴν ἐκ Δαυῒδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

Ξύλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες, μεγαλωσύνην δῶμεν, Θεῷ τῷ σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

Λύσιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, ὑψούμενος βραβεύει, τῷ γένει τῶν ἀνθρώπων, Σταυρὸς Χριστοῦ ὁ ἅγιος.

Ὅτε τὸν Ἀμαλήκ, Μωσῆς κατετροποῦτο, Χριστοῦ προγράφων πάθος, Σταυρὸν προδιετύπου, δαιμόνων ἀμυντήριον.

Λόγχην σὺν τῷ Σταυρῷ, τοὺς ἥλους καὶ τὰ ἄλλα, ἐν οἷς τὸ ζωηφόρον, Χριστοῦ ἐπάγη σῶμα, ὑψοῦντες προσκυνήσωμεν.

Ὕλην φθοροποιόν, ἐξαίρει ἁμαρτίας, τὸ τοῦ Σταυροῦ σου ξύλον, ὑψούμενον Σωτήρ μου, λαμπρύνει δὲ τὰ σύμπαντα.

Ὕδατι θεουργῷ, καὶ αἵματί σου Λόγε, λαμπρῶς ἡ Ἐκκλησία, στολίζεται ὡς νύμφη. Σταυροῦ τὴν δόξαν μέλπουσα.

Μύρον τὸ νοητόν, σὲ Μάρτυς καταθέλξαν, πρὸς ἀρετῶν τὰ μύρα, διήγειρε καὶ μύρα, βλύζειν ἀφθόνως δέδωκε.

Εὖγε τῆς καλλονῆς, τοῦ μύρου τῆς σαρκός σου· ὑπέρευγε τοῦ μύρου, τοῦ τῆς ψυχῆς σου Μάκαρ, οὗ περ ἐκεῖνο γνώρισμα.

Μύρου τοῦ νοητοῦ, ἀξία μυροθήκη, γεγενημένη Κόρη, παθῶν με δυσωδίας, ἀπάλλαξον πρεσβείαις σου.

Σκέπη πανευκλεής, Μητρὸς τοῦ Θεοῦ Λόγου, σκέπε φρούρει καὶ σῷζε, ἀπὸ παντοίας βλάβης, τοὺς εὐλαβῶς τιμῶντάς σε.

Λύσιν τῶν δυσχερῶν καὶ κτῆσιν τῶν ἀρίστων, βράβευσον σοῖς ἱκέταις, χάριτι τῆς σῆς Σκέπης, Μαρία μητροπάρθενε.

Σκέπη χριστιανῶν, ὑπάρχεις Θεοτόκε, τὸν εὐσεβῆ λαόν σου, σκέπουσα καὶ φρουροῦσα, ἐκ πάσης περιστάσεως.

Νέκταρ τὸ νοητόν, τῆς χάριτος τῷ λόγῳ, Νεκτάριε πηγάζεις, Χριστοῦ τῇ Ἐκκλησίᾳ, ὡς καθαρθεὶς τῷ πνεύματι.

Ἅπλωσον ἐφ' ἡμᾶς, τὴν Σκέπην σου Παρθένε, καὶ σκέπασον αὔλως, ἐκ πάσης δυσπραγίας, λαὸν τὸν χριστεπώνυμον.

Ἤλπισεν ὁ στρατός, τῇ σκέπῃ σου Παρθένε, καὶ ἰσχυρὸς ὡράθη, τοῖς ἐπιτιθεμένοις, τῷ κράτει τῆς ἰσχύος σου.

Μέγας ὡς ἀληθῶς, θεράπων τοῦ Κυρίου ἐν τοῖς ἐσχάτοις χρόνοις, Νεκτάριε ἐδείχθης, καὶ τοὺς Πιστοὺς ἐστήριξας.

Χαίρει πνευματικῶς, Χριστοῦ ἡ Ἐκκλησία, ὁρῶσά σου τὴν χάριν, ἣν οὐρανόθεν εὗρες, Νεκτάριε Πατὴρ ἡμῶν.

Ὕμνον ἐκ ῥυπαρῶν, χειλέων Θεοτόκε, προσδέχου καὶ τὴν λύσιν, δίδου μοι τῶν πταισμάτων, καὶ τῶν κακῶν διόρθωσιν.

Τύπος θεοπρεπής, τοῦ θείου τοκετοῦ σου, θεόφρον Ἄννα ὤφθη, τοῦ Ἀαρὼν ἡ ῥάβδος, ἀνίκμως ἐκβλαστήσασα.

Ὅτε ἐν τῷ ναῷ, τῶν Βλαχερνῶν κατεῖδεν, ὁ Ὅσιος Ἀνδρέας, σκέπουσάν σε Παρθένε, τοὺς εὐσεβεῖς ἐθαύμασε.

Χαῖρε ἡ τὴν χαράν, τοῦ κόσμου δεξαμένη, Χριστὸν καὶ τῇ σῇ Σκέπῃ, σκέπουσα ἡμᾶς πάντας, Παρθένε Θεονύμφευτε.

Φύσις τρισσολαμπής, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὑπέρθεε Θεότης, οἰκτείρησον Οἰκτίρμον, τὸ τῶν χειρῶν σου ποίημα.

Ὕμνοις χρεωστικῶς, μοναζόντων τὰ στίφη, τιμήσωμεν ἐν ὕμνοις, τὴν Σκέπην τῆς Πανάγνου, τὴν πάντας πιστοὺς σκέπουσαν.

Σήμερον ἡ χαρά, πάσης τῆς οἰκουμένης, στειρωτικῆς ἐκ μήτρας, γεννᾶται παραδόξως, ἡ Μήτηρ τοῦ Κυρίου μου.

Εἰς βόθρον τὸν Σατᾶν, ὃν ὤρυξέ σοι Μάκαρ, ἐμβεβληκὼς γενναίως, ἀπέπνιξας τελείως, τοῖς ποταμοῖς τῶν μύρων σου.

Ἐλπὶς χριστιανῶν, Παντάνασσα Μαρία, χάριτι τῆς σῆς Σκέπης, περίσωζε τοὺς πόθῳ, ταύτην τιμῶντας σήμερον.

Χορὸς τῶν Προφητῶν, ἀγάλλεσθε· ἰδοὺ γάρ, στεῖρα καρπὸν ἐκφύει, ἐν ᾧ αἱ προφητεῖαι, ὑμῶν περαιωθήσονται.

Σήμερον τοῦ Χριστοῦ, ὁ Σταυρὸς ἀνυψοῦται, τὸ ζωηφόρον ξύλον, ἐν ᾧ σαρκὶ ἐπάγη, πάντας ἀνακαλούμενος.

Χαίροις τὸ τῶν πιστῶν, φυλακτήριον θεῖον, ἀπροσμάχητον τεῖχος, Σταυρὸς ὁ τοῦ Κυρίου, δι' οὗ ἀπὸ γῆς ἤρθημεν.

Δεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ σωτήριον ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.